*Vaticanus graecus* 299, f. 374 recto, l. 22 - 374 verso, l. 11

τοῦ σαρακηνοῦ τοῦ ἀβράμ καὶ ἀκταρίου τῶν μαγγάνων καὶ βασιλικοῦ ἀρχιατροῦ βοηθημα καθαρτικὸν ἐπι τε ἡπατικῶν, ἰκτερικῶν καὶ σπληνικῶν καὶ ἰσχιαδικῶν:

ἀλὶλὲκχ ἤγουν χρυσοβάλανον - μελαν ινδικὸν σγ β - βελινέκτου ἤτοι χρυσοβαλάνου δέρματος κιτρινου - ἐλιλκης ἤτοι χρυσοβαλάνου κιτρινου ἀνὰ σγ β - ἐλιλκέβουλ τουτέστι χρυσοβαλάνου μεγαλου σγ β - ἐμβλήστου τουτέστι χρυσοβαλάνου σχιστοῦ μελανοῦ σγ β - τούρβια ὅ ἐστι ῥιζαριον σαρακηνικὸν ὁ λέγεται ἀλυπια σγ α - βονεσφέκτου τουτέστιν ἴα βένετια σγ β - ῥόδα ἀληθινὰ ξηρὰ σγ α - χιτραγιδιν τουτέστι ῥιζαριον ινδικὸν σγ β ς - πισπεκ γ τουτέστι πολυπόδιν σγ β - ἀγαρικὸν σγ α - ἀνισον σγ α - μαράθου σπέρματος σγ α - χαπνηλ τουτέστι λουλακιου σγ α - χανδαλ τουτέστι κολοκυνθιδος κερατ ἠ ζιζφακ δαμασκηνὰ δέκα σταφιδας ἐκγεγαρτισμένας Γο ἀ - ὕδατος ποτήρια γ - καὶ βαλον ἀποβραχθῆναι νυχθήμερα δύο καὶ τότε ἔασον ζέσαι μέχρις οὗν λειφθῆ τὸ τριτον καὶ σακελισης αὐτὸ λαβε οὗν κερ€τια πικρὰ σκαμμωνιαν κερατια η μαστιχης κερ€τια δ ζυλαπιν Γο ἀ ἕνωσον τὴν πικρὰν μετὰ τῆς σκαμμωνιας καὶ τῆς μαστιχης καὶ τὸ ζυλαπιν καὶ βαλον τὸ ἀπόζεμα καὶ ἕνωσον ὁμοῦ καὶ πότισον αὐτὸ ἔστι γὰρ δυνατὸν καθαραι ἧπαρ, σπλῆνα, νέφροὺς, ισχιον, κεφαλὴν - διδοται δὲ καὶ μελαγχολικοὺς καὶ σκοτοματικοὺς ἀρθρητικοὺς καὶ ἄλλοις οἷ δέονται ισχυρᾶς καθάσεως - ιστέον ὅτι οικιαν ἔχει τὸ ἤπαρ τὸ αἷμα ἐσι τὴν μορφὴν τοῦ κροτάφου